# ΕΙΣ ΑΓΩΝΑΣ ΚΑΙ ΑΓΩΝΙΣΤΑΣ,

## Κεφ. α.

### ΑΡΧΙΟΥ, εἰς τέσσαρας ἀγῶνας.

Τέσσαρές εἰσιν ἀγῶνες ἀν' ἑλλάδα, τέσσαρες ἱροὶ,
Οἱ δύο μὲν, θνητῶν, οἱ δύο δ', ἀθανάτων.
Ζηνὸς, λητοΐδαο, παλαίμονος, ἀρχεμόροιο.
Ἆθλα δὲ τῶν κότινος, μῆλα, σέλινα, πίτυς.

### ΔΙΟΤΙΜΟΥ εἰς ἡρακλῆν καὶ ἀνταῖον.

Τὰν ἥβαν ἐς ἄεθλα πάλας ἤσκησε κραταιᾶς
Ἀπὸ ποσειδῶνος, καὶ διὸς ἁ γενεά.
Κεῖται δέ σφιν ἀγὼν, οὐ χαλκέου ἀντὶ λέβητος,
Ἀλλ' ὅς τις ζωὰν οἴσεται ἢ θάνατον.
Ἀνταίου τὸ πτῶμα. πρέπει δ' ἡρακλέα νικᾶν
Τὸν διός. ἀργείων ἁ πάλα, οὐ λιβύων.

### ΑΝΤΙΠΑΤΡΟΥ εἰς ἀρίαν.

Ο σταδιεὺς ἀρίης ὁ μενεκλέος οὐ κατελέγχει
Περσέα τὸν κτίστην ταρσὲ κίλισσα πόλι.
Τοῖοι γὰρ παιδὸς πτηνοὶ πόδες· οὐδ' ἂν ἐκείνῳ
οὐδ' αὐτὸς περσεὺς νῶτον ἔδειξε θέων.
Η γὰρ ἐφ' ὑσπλήγγων ἢ τέρματος εἶδέ τις ἄκρον
Ἠΐθεον, μέσσῳ δ' οὔποτ' ἐνὶ σταδίῳ.

ΛΕΟΝ-